FRANCKESCHE STIFTUNGEN

# Franckesche Stiftungen zu Halle

## Xenophontis Memorabilia Socratis Graece

### Xenophon

### Gothae, MDCCLXXXVIII.

### VD18 12986496

Caput VI. De amicis deligendis et conciliandis.

**Nutzungsbedingungen**
Die Digitalisate des Francke-Portals sind urheberrechtlich geschützt. Sie dürfen für wissenschaftliche und private Zwecke heruntergeladen und ausgedruckt werden. Vorhandene Herkunftsbezeichnungen dürfen dabei nicht entfernt werden.
Eine kommerzielle oder institutionelle Nutzung oder Veröffentlichung dieser Inhalte ist ohne vorheriges schriftliches Einverständnis des Studienzentrums August Hermann Francke der Franckeschen Stiftungen nicht gestattet, das ggf. auf weitere Institutionen als Rechteinhaber verweist. Für die Veröffentlichung der Digitalisate können gemäß der Gebührenordnung der Franckeschen Stiftungen Entgelte erhoben werden.
Zur Erteilung einer Veröffentlichungsgenehmigung wenden Sie sich bitte an die Leiterin des Studienzentrums, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

**Terms of use**
All digital documents of the Francke-Portal are protected by copyright. They may be downladed and printed only for non-commercial educational, research and private purposes. Attached provenance marks may not be removed.
Commercial or institutional use or publication of these digital documents in printed or digital form is not allowed without obtaining prior written permission by the Study Center August Hermann Francke of the Francke Foundations which can refer to other institutions as right holders. If digital documents are published, the Study Center is entitled to charge a fee in accordance with the scale of charges of the Francke Foundations.
For reproduction requests and permissions, please contact the head of the Study Center, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

urn:nbn:de:gbv:ha33-1-193062

Visual Library

## CAPVT VI.

### *De amicis deligendis et conciliandis.*

Ἐδόκει δέ μοι καὶ εἰς τὸ δοκιμάζειν φίλους, ὁποίους ἄξιον κτᾶσθαι, φρενοῦν, τοιάδε λέγων· εἰπέ μοι, ἔφη, ὦ Κριτόβουλε, εἰ δεοίμεθα φίλου ἀγαθοῦ, πῶς ἂν ἐπιχειροίημεν σκοπεῖν; ἆρα πρῶτον μὲν ζητητέον, ὅστις ἄρχει γαστρός τε, καὶ φιλοποσίας, καὶ λαγνείας, καὶ ὕπνου, καὶ ἀργίας; ὁ γὰρ ὑπὸ τούτων κρατούμενος, οὔτ' αὐτὸς ἑαυτῷ δύναιτ' ἂν, οὔτε φίλῳ τὰ δέοντα πράττειν. μὰ Δί' οὐ δῆτα, ἔφη. οὐκοῦν τοῦ μὲν ὑπὸ τούτων ἀρχομένου ἀφεκτέον δοκεῖ σοι εἶναι; πάνυ μὲν
2 οὖν, ἔφη. τί γάρ; ἔφη, ὅστις δαπανηρὸς ὢν μὴ αὐτάρκης ἐστὶν, ἀλλ' ἀεὶ τῶν πλησίον δεῖται, καὶ λαμβάνων μὲν, μὴ δύναται ἀποδιδόναι, μὴ λαμβάνων δὲ, τὸν μὴ διδόντα μισεῖ, οὐ δοκεῖ σοι καὶ οὗτος χαλεπὸς φίλος εἶναι; πάνυ, ἔφη. οὐκοῦν ἀφεκτέον καὶ τούτου;
3 ἀφεκτέον μέν τοι, ἔφη. τί γάρ; ὅστις χρηματίζεσθαι μὲν δύναται, πολλῶν δὲ χρημάτων ἐπιθυμεῖ, καὶ διὰ τοῦτο δυσξύμβολός ἐστι, καὶ λαμβάνων μὲν ἥδεται, ἀποδιδόναι δὲ οὐ βούλεται; ἐμοὶ μὲν δοκεῖ, ἔφη, οὗτος ἔτι
4 πονηρότερος ἐκείνου εἶναι. τί δ'; ὅστις διὰ τὸν ἔρωτα τοῦ χρηματίζεσθαι μηδὲ πρὸς ἓν ἄλλο σχολὴν ποιεῖται, ἢ ὁπόθεν αὐτὸς κερδανεῖ; ἀφεκτέον καὶ τούτου, ὡς ἐμοὶ δοκεῖ. ἀνωφελὴς γὰρ ἂν εἴη τῷ χρωμένῳ. τί δέ; ὅστις στασιώδης τέ ἐστι καὶ θέλων πολλοὺς τοῖς

φίλοις

Franckesche Stiftungen zu Halle

φίλοις ἐχθροὺς παρέχειν; φευκτέον, νὴ Δία,
καὶ τοῦτον. εἰ δέ τις τούτων μὲν τῶν κακῶν
μηδὲν ἔχει, εὖ δὲ πάσχων ἀνέχεται, μηδὲν
φροντίζων τοῦ ἀντευεργετεῖν; ἀνωφελὴς ἂν
εἴη καὶ οὗτος. ἀλλὰ ποῖον, ὦ Σώκρατες,
ἐπιχειρήσομεν φίλον ποιεῖσθαι; οἶμαι μὲν, ὃς, 5
τἀναντία τούτων, ἐγκρατὴς μέν ἐστι τῶν διὰ
τοῦ σώματος ἡδονῶν, εὔορκος*) δὲ καὶ εὐξύμ-
βολος ὢν τυγχάνει, καὶ φιλόνικος u) πρὸς
τὸ μὴ ἐλλείπεσθαι, εὖ ποιῶν τοὺς εὐεργετοῦν-
τας ἑαυτὸν, ὥστε λυσιτελεῖν τοῖς χρωμένοις.
πῶς οὖν ἂν ταῦτα δοκιμάσαιμεν, ὦ Σώκρα- 6
τες, πρὸ τοῦ χρῆσθαι; τοὺς μὲν ἀνδριαντο-
ποιοὺς, ἔφη, δοκιμάζομεν, οὐ τοῖς λόγοις αὐ-
τῶν τεκμαιρόμενοι, ἀλλ' ὃν ἂν ὁρῶμεν τοὺς
πρόσθεν ἀνδριάντας καλῶς εἰργασμένον, τού-
τῳ πιστεύομεν καὶ τοὺς λοιποὺς εὖ ποιήσειν.
καὶ ἄνδρα δὴ λέγεις, ἔφη, ὃς ἂν τοὺς φίλους 7
τοὺς πρόσθεν εὖ ποιῶν φαίνηται, δῆλον εἶναι
καὶ τοὺς ὑστέρους εὐεργετήσοντα. καὶ γὰρ ἵπ-
ποις, ἔφη, ὃν ἂν τοῖς πρόσθεν ὁρῶ καλῶς
χρώμενον, τοῦτον καὶ ἄλλοις οἶμαι καλῶς
χρῆσθαι. εἶεν, ἔφη. ὃς δ' ἂν ἡμῖν ἄξιος 8
φιλίας δοκῇ εἶναι, πῶς χρὴ φίλον τοῦτον
ποιεῖσθαι; πρῶτον μὲν, ἔφη, τὰ παρὰ τῶν
θεῶν ἐπισκεπτέον, εἰ συμβουλεύουσιν αὐτὸν
φίλον ποιεῖσθαι. τί οὖν, ἔφη, ὃν ἂν ἡμῖν
δοκῇ, καὶ οἱ θεοὶ μὴ ἐναντιῶνται, ἔχεις εἰ-
πεῖν, ὅπως οὗτος θηρατέος; μὰ Δί', ἔφη, 9
οὐ κατὰ πόδας, ὥσπερ ὁ λαγὼς, οὐδ' ἀπάτῃ,
ὥσπερ αἱ ὄρνιθες, οὐδὲ βίᾳ, ὥσπερ οἱ ἐχθροί.

 ἄκον-

*) εὔοργος conj. Rhunn. u) Al. φιλόνεικος.

ἄκοντα γὰρ φίλον ἑλεῖν ἐργῶδες, χαλεπὸν δὲ
καὶ δήσαντα κατέχειν, ὥσπερ δοῦλον. ἐχθροὶ
γὰρ μᾶλλον ἢ φίλοι γίγνονται ταῦτα πάσχον-
10 τες. φίλοι δὲ πῶς; ἔφη. εἶναι μέν τινάς φα-
σιν ἐπῳδὰς, ἃς οἱ ἐπιςάμενοι ἐπᾴδοντες, οἷς
ἂν βούλωνται, φίλους ἑαυτοῖς ποιοῦνται· εἶναι
δὲ καὶ φίλτρα, οἷς οἱ ἐπιςάμενοι, πρὸς οὓς ἂν
11 βούλωνται, χρώμενοι φιλοῦνται ὑπ' αὐτῶν. πό-
θεν οὖν, ἔφη, ταῦτα μάθοιμεν ἄν; ἃ μὲν αἱ
Σειρῆνες ἐπῆδον τῷ Ὀδυσσεῖ, ἤκουσας Ὁμή-
ρου x), ὧν ἐςιν ἀρχὴ τοιάδε τις·

Δεῦρ' ἄγε δὴ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν.

Ταύτην οὖν, ἔφη, τὴν ἐπῳδὴν, ὦ Σώκρατες,
καὶ τοῖς ἄλλοις ἀνθρώποις αἱ Σειρῆνες ἐπᾴδουσαι
κατεῖχον, ὥςε μὴ ἀπιέναι ἀπ' αὐτῶν τοὺς
ἐπᾳσθέντας; οὔκ, ἀλλὰ τοῖς ἐπ' ἀρετῇ φιλοτι-
12 μουμένοις οὕτως ἐπῆδον. σχεδόν τι λέγεις τοι-
αῦτα χρῆναι ἑκάςῳ ἐπᾴδειν, οἷα μὴ νομιεῖ
ἀκούων τὸν ἐπαινοῦντα καταγελῶντα λέγειν.
οὕτω μὲν γὰρ ἐχθίων τ' ἂν εἴη, καὶ ἀπελαύνοι
τοὺς ἀνθρώπους ἀφ' ἑαυτοῦ, εἰ τὸν εἰδότα ὅτι
μικρός τε καὶ αἰσχρὸς καὶ ἀσθενής ἐςιν, ἐπαι-
νοίη, λέγων ὅτι καλός τε καὶ μέγας καὶ ἰσχυ-
13 ρός ἐςιν. ἄλλας δέ τινας οἶσθα ἐπῳδάς; οὔκ·
ἀλλ' ἤκουσα μὲν, ὅτι Περικλῆς πολλὰς ἐπίςαι-
το, ἃς ἐπᾴδων τῇ πόλει, ἐποίει αὐτὴν φιλεῖν
αὐτόν. Θεμιςοκλῆς δὲ πῶς ἐποίησε τὴν πόλιν
φιλεῖν αὐτόν; μὰ Δί' οὐκ ἐπᾴδων, ἀλλὰ πε-
14 ριάψας τι ἀγαθὸν αὐτῇ. δοκεῖς μοι λέγειν,
ὦ

x) Odyss. μ. v. 184.

Franckesche Stiftungen zu Halle

ὦ Σώκρατες, ὡς εἰ μέλλοιμεν ἀγαθόν τινα
κτήσεσθαι φίλον, αὐτοὺς ἡμᾶς ἀγαθοὺς δεῖ γε-
νέσθαι, λέγειν τε καλὰ καὶ πράττειν. σὺ δὲ
ᾤου, ἔφη ὁ Σωκράτης, οἷόν τ' εἶναι πονηρὸν ὄν-
τα χρηστοὺς φίλους κτήσασθαι; ἑώρων γὰρ, ἔφη 15
ὁ Κριτόβουλος, ῥήτορας τε φαύλους ἀγαθοῖς
δημηγόροις φίλους ὄντας, καὶ στρατηγεῖν οὐχ
ἱκανοὺς πάνυ στρατηγικοῖς ἀνδράσιν ἑταίρους.
ἆρ' οὖν, ἔφη, καὶ περὶ οὗ διαλεγόμεθα, οἶσθά 16
τινας, οἱ ἀνωφελεῖς ὄντες, ὠφελίμους δύνανται
φίλους ποιεῖσθαι; μὰ Δί', οὐ δῆτ', ἔφη. ἀλλ'
εἰ ἀδύνατόν ἐστι, πονηρὸν ὄντα καλοὺς κἀγα-
θοὺς φίλους κτήσασθαι, ἐκεῖνο ἤδη λέγε μοι, εἰ
ἔστιν, αὐτὸν καλὸν κἀγαθὸν γενόμενον, ἐξ
ἑτοίμου τοῖς καλοῖς κἀγαθοῖς φίλον εἶναι. ἢ 17
ταράττει σε, ὦ Κριτόβουλε, ὅτι πολλάκις ἄν-
δρας καὶ καλὰ πράττοντας, καὶ τῶν αἰσχρῶν
ἀπεχομένους, ὁρᾷς ἀντὶ τοῦ φίλους εἶναι, στασιά-
ζοντας ἀλλήλοις, καὶ χαλεπώτερον χρωμένους
τῶν μηδενὸς ἀξίων ἀνθρώπων; καὶ οὐ μόνον γ', 18
ἔφη ὁ Κριτόβουλος, οἱ ἰδιῶται τοῦτο ποιοῦσιν,
ἀλλὰ καὶ πόλεις αἱ τῶν τε καλῶν μάλιστα ἐπι-
μελούμεναι, καὶ τὰ αἰσχρὰ ἥκιστα προσιέμεναι,
πολλάκις πολεμικῶς ἔχουσι πρὸς ἀλλήλας. ἃ
λογιζόμενος, πάνυ ἀθύμως ἔχω πρὸς τὴν
τῶν φίλων κτῆσιν. οὔδε γὰρ τοὺς πονηροὺς ὁρῶ 19
φίλους ἀλλήλοις δυναμένους εἶναι. πῶς γὰρ ἂν
ἢ ἀχάριστοι, ἢ ἀμελεῖς, ἢ πλεονέκται, ἢ ἄπι-
στοι, ἢ ἀκρατεῖς ἄνθρωποι δύναιντο φίλοι γε-
νέσθαι; οἱ μὲν οὖν πονηροὶ πάντες ἔμοιγε δο-
κοῦσιν ἀλλήλοις ἐχθροὶ μᾶλλον ἢ φίλοι πεφυκέ-
ναι. ἀλλὰ μὴν, ὥσπερ σὺ λέγεις, οὐδ' ἂν τοῖς 20



Franckesche Stiftungen zu Halle

χρηστοῖς οἱ πονηροί ποτε συναρμόσειαν εἰς φι-
λίαν. πῶς γὰρ οἱ τὰ πονηρὰ ποιοῦντες τοῖς τὰ
τοιαῦτα μισοῦσι φίλοι γένοιντ' ἄν; εἰ δὲ δὴ
καὶ οἱ ἀρετὴν ἀσκοῦντες στασιάζουσί τε περὶ τοῦ
πρωτεύειν ἐν ταῖς πόλεσι, καὶ φθονοῦντες ἑαυ-
τοῖς μισοῦσιν ἀλλήλους, τίνες ἔτι φίλοι ἔσονται,
καὶ ἐν τίσιν ἀνθρώποις εὔνοια καὶ πίστις ἔσται;
21 ἀλλ' ἔχει μὲν, ἔφη ὁ Σωκράτης, ποικίλως πως
ταῦτα, ὦ Κριτόβουλε. φύσει γὰρ ἔχουσιν οἱ
ἄνθρωποι τὰ μὲν, φιλικά· (δέονται γὰρ
ἀλλήλων, καὶ ἐλεοῦσι, καὶ συνεργοῦντες ὠφελοῦ-
σι, καὶ τοῦτο συνιέντες χάριν ἔχουσιν ἀλλήλοις)
τὰ δὲ, πολεμικά. τά τε γὰρ αὐτὰ καλὰ
καὶ ἡδέα νομίζοντες, ὑπὲρ τούτων μάχονται,
καὶ διχογνωμονοῦντες ἐναντιοῦνται. πολεμικὸν
δὲ καὶ ἔρις καὶ ὀργή. καὶ δυσμενὴς μὲν ὁ τοῦ
22 πλεονεκτεῖν ἔρως, μισητὸς δὲ ὁ φθόνος. ἀλλ'
ὅμως διὰ τούτων πάντων ἡ φιλία διαδυομένη
συνάπτει τοὺς καλούς τε κἀγαθούς. διὰ γὰρ
τὴν ἀρετὴν αἱροῦνται μὲν ἄνευ πόνου τὰ μέτρια
κεκτῆσθαι μᾶλλον, ἢ διὰ πολέμου πάντων κυ-
ριεύειν, καὶ δύνανται πεινῶντες καὶ διψῶντες
ἀλύπως σίτου καὶ ποτοῦ κοινωνεῖν, καὶ τοῖς
τῶν ὡραίων ἀφροδισίοις ἡδόμενοι ἐγκαρτερεῖν,
23 ὥστε μὴ λυπεῖν, οὓς μὴ προσήκει· δύνανται δὲ
καὶ χρημάτων οὐ μόνον, τοῦ πλεονεκτεῖν ἀπε-
χόμενοι, νομίμως κοινωνεῖν, ἀλλὰ καὶ ἐπαρ-
κεῖν ἀλλήλοις· δύνανται δὲ καὶ τὴν ἔριν οὐ μόνον
ἀλύπως, ἀλλὰ καὶ συμφερόντως ἀλλήλοις δια-
τίθεσθαι, καὶ τὴν ὀργὴν κωλύειν εἰς τὸ μετα-
μελησόμενον προϊέναι. τὸν δὲ φθόνον παντά-
πασιν ἀφαιροῦσι, τὰ μὲν ἑαυτῶν ἀγαθὰ τοῖς

φίλοις

Franckesche Stiftungen zu Halle

φίλοις οἰκεῖα παρέχοντες, τὰ δὲ τῶν φίλων, ἑαυτῶν νομίζοντες. πῶς οὖν οὐκ εἰκὸς τοὺς κα- 24
λούς τε κἀγαθοὺς, καὶ τῶν πολιτικῶν τιμῶν μὴ μόνον ἀβλαβεῖς, ἀλλὰ καὶ ὠφελίμους ἀλλήλοις κοινωνοὺς εἶναι; οἱ μὲν γὰρ ἐπιθυμοῦντες ἐν ταῖς πόλεσι τιμᾶσθαί τε καὶ ἄρχειν, ἵνα ἐξουσίαν ἔχωσι, χρήματά τε κλέπτειν, καὶ ἀνθρώπους βιάζεσθαι, καὶ ἡδυπαθεῖν, ἄδικοί τε καὶ πονηροὶ ἂν εἶεν, καὶ ἀδύνατοι ἄλλῳ συναρμόσαι· εἰ δέ τις ἐν πόλει τιμᾶσθαι βουλόμε- 25
νος, ὅπως αὐτός τε μὴ ἀδικῆται, καὶ τοῖς φίλοις τὰ δίκαια βοηθεῖν δύνηται, καὶ ἄρξας ἀγαθόν τι ποιεῖν τὴν πατρίδα πειρᾶται, διὰ τί ὁ τοιοῦτος ἄλλῳ τοιούτῳ οὐκ ἂν δύναιτο συναρμόσαι; πότερον τοὺς φίλους ὠφελεῖν μετὰ τῶν καλῶν κἀγαθῶν ἧττον δυνήσεται, ἢ τὴν πόλιν εὐεργετεῖν ἀδυνατώτερος ἔσται, καλοὺς τε κἀγαθοὺς ἔχων συνεργούς; ἀλλὰ καὶ ἐν τοῖς 26
γυμνικοῖς ἀγῶσι δῆλόν ἐστιν, ὅτι, εἰ ἐξῆν τοῖς κρατίστοις συνθεμένους ἐπὶ τοὺς χείρους ἰέναι, πάντας ἂν τοὺς ἀγῶνας οὗτοι ἐνίκων, καὶ πάντα τὰ ἆθλα οὗτοι ἐλάμβανον. ἐπεὶ οὖν ἐκεῖ μὲν οὐκ ἐῶσι τοῦτο ποιεῖν, ἐν δὲ τοῖς πολιτικοῖς, ἐν οἷς οἱ καλοὶ κἀγαθοὶ κρατιστεύουσιν, οὐδεὶς κωλύει, μεθ᾽ οὗ ἄν τις βούληται, τὴν πόλιν εὐεργετεῖν· πῶς οὖν οὐ λυσιτελεῖ τοὺς βελτίστους φίλους κτησάμενον πολιτεύεσθαι, τούτοις κοινωνοῖς καὶ συνεργοῖς τῶν πράξεων μᾶλλον ἢ ἀνταγωνισταῖς χρώμενον; ἀλλὰ μὴν κἀκεῖνο δῆλον, 27
ὅτι, κἂν πολεμῇ τις τινὶ, συμμάχων δεήσεται, καὶ τούτων πλειόνων, ἐὰν καλοῖς κἀγαθοῖς ἀντιτάττηται. καὶ μὴν οἱ συμμαχεῖν

ἐθέλοντες εὖ ποιητέοι, ἵνα θέλωσι προθυμεῖ-
σθαι. πολὺ δὲ κρεῖττον τοὺς βελτίστους ἐλάτ-
τονας εὖ ποιεῖν, ἢ τοὺς χείρονας πλείονας ὄν-
τας· οἱ γὰρ πονηροὶ πολὺ πλειόνων εὐεργε-
28 τῶν y) ἢ οἱ χρηστοὶ δέονται. ἀλλὰ θαῤῥῶν,
ἔφη, ὦ Κριτόβουλε, πειρῶ ἀγαθὸς γίγνεσθαι,
καὶ τοιοῦτος γιγνόμενος, θηρᾶν ἐπιχείρει τοὺς
καλούς τε κἀγαθούς. ἴσως δ' ἄν τί σοι κἀ-
γὼ συλλαβεῖν εἰς τὴν τῶν καλῶν τε κἀγα-
θῶν θήραν ἔχοιμι, διὰ τὸ ἐρωτικὸς εἶναι·
δεινῶς γὰρ, ὧν ἂν ἐπιθυμήσω ἀνθρώπων,
ὅλος ὥρμημαι ἐπὶ τὸ φιλῶν τε αὐτοὺς ἀντι-
φιλεῖσθαι ὑπ' αὐτῶν, καὶ ποθῶν ἀντιποθεῖ-
σθαι, καὶ ἐπιθυμῶν ξυνεῖναι, ἀντεπιθυμεῖ-
29 σθαι z) τῆς ξυνουσίας. ὁρῶ δὲ καὶ σοὶ τού-
των δεῆσον, ὅταν ἐπιθυμήσῃς φιλίαν πρός
τινας ποιεῖσθαι. μὴ σὺ οὖν ἀποκρύπτου με,
οἷς ἂν βούλοιο φίλος γενέσθαι. διὰ γὰρ τὸ
ἐπιμελεῖσθαι τοῦ ἀρέσαι τῷ ἀρέσκοντί μοι, οὐκ
30 ἀπείρως οἶμαι ἔχειν θηρᾶν ἀνθρώπους. καὶ
ὁ Κριτόβουλος ἔφη· καὶ μὴν, ὦ Σώκρατες,
τούτων ἐγὼ τῶν μαθημάτων πάλαι ἐπιθυμῶ,
ἄλλως τε καὶ εἰ ἐξαρκέσει μοι ἡ αὐτὴ ἐπι-
στήμη ἐπὶ τοὺς ἀγαθοὺς τὰς ψυχὰς καὶ ἐπὶ
31 τοὺς καλοὺς τὰ σώματα. καὶ ὁ Σωκράτης
ἔφη· ἀλλ' ὦ Κριτόβουλε, οὐκ ἔνεστιν ἐν τῇ
ἐμῇ ἐπιστήμῃ τὸ τὰς χεῖρας προσφέροντα
ποιεῖν ὑπομένειν τοὺς καλούς. πέπεισμαι a)
δὲ καὶ ἀπὸ τῆς Σκύλλης διὰ τοῦτο φεύγειν
τοὺς

y) Ern. conjecit εὐεργεσιῶν.

z) Vulgo καὶ ἀντεπιθυμεῖσθαι.

a) Ern. conj. πέπυσμαι.

τοὺς ἀνθρώπους, ὅτι τὰς χεῖρας αὐτοῖς προσ-
έφερε· τὰς δέ γε Σειρῆνας, ὅτι τὰς χεῖρας
οὐδενὶ προσέφερον, ἀλλὰ πᾶσι πόῤῥωθεν ἐπῆ-
δον, πάντας φασὶν ὑπομένειν, καὶ ἀκούοντας
αὐτῶν κηλεῖσθαι. καὶ ὁ Κριτόβουλος ἔφη, ὡς 32
οὐ προσοίσοντος τὰς χεῖρας, εἴτι ἔχεις ἀγα-
θὸν εἰς φίλων κτῆσιν, δίδασκε. οὐδὲ τὸ στό-
μα οὖν, ἔφη ὁ Σωκράτης, πρὸς τὸ στόμα
προσθήσεις; θάῤῥει, ἔφη ὁ Κριτόβουλος. οὐδὲ
γὰρ τὸ στόμα πρὸς τὸ στόμα προσοίσω οὐδενὶ,
ἐὰν μὴ καλὸς ᾖ. εὐθὺς b), ἔφη, σύγε ὦ
Κριτόβουλε, τοὐναντίον τοῦ συμφέροντος εἴρη-
κας. οἱ μὲν γὰρ καλοὶ τὰ τοιαῦτα οὐχ ὑ-
πομένουσιν· οἱ δὲ αἰσχροὶ καὶ ἡδέως προσίεν-
ται, νομίζοντες διὰ τὴν ψυχὴν καλοὶ κα-
λεῖσθαι. καὶ ὁ Κριτόβουλος ἔφη· ὡς τοὺς μὲν 33
καλοὺς φιλήσοντός μου, τοὺς δ' ἀγαθοὺς κα-
ταφιλήσοντος, θαῤῥῶν δίδασκε τῶν φίλων τὰ
θηρατικά. καὶ ὁ Σωκράτης ἔφη· ὅταν οὖν,
ὦ Κριτόβουλε, φίλος τινὶ βούλῃ γενέσθαι, ἐά-
σεις με κατειπεῖν σου πρὸς αὐτὸν, ὅτι ἄγα-
σαί τε αὐτοῦ, καὶ ἐπιθυμεῖς φίλος αὐτοῦ εἶ-
ναι; κατηγόρει, ἔφη ὁ Κριτόβουλος· οὐδένα γὰρ
οἶδα μισοῦντα τοὺς ἐπαινοῦντας. ἐὰν δέ σου 34
προσκατηγορήσω, ἔφη, ὅτι διὰ τὸ ἄγασθαι
αὐτοῦ, καὶ εὐνοϊκῶς ἔχεις πρὸς αὐτὸν, ἆρα
μὴ διαβάλλεσθαι δόξεις ὑπ' ἐμοῦ; ἀλλὰ καὶ
αὐτῷ μοι, ἔφη, ἐγγίγνεται εὔνοια, πρὸς οὓς
ἂν ὑπολάβω εὐνοϊκῶς ἔχειν πρὸς ἐμέ. ταῦ- 35
τα μὲν δὴ, ἔφη ὁ Σωκράτης, ἐξέσται μοι λέ-
γειν περὶ σοῦ, πρὸς οὓς ἂν βούλει φίλους ποιή-
σασθαι.

b) Videtur corrigendum αὖθις.

σασθαι. ἐὰν δέ μοι ἔτι ἐξουσίαν δῷς λέγειν
περὶ σοῦ, ὅτι ἐπιμελής τε τῶν φίλων εἶ, καὶ
οὐδενὶ οὕτω χαίρεις ὡς φίλοις ἀγαθοῖς, καὶ
ἐπί τε τοῖς καλοῖς ἔργοις τῶν φίλων ἀγάλλῃ
οὐχ ἧττον ἢ ἐπὶ τοῖς ἑαυτοῦ, καὶ ἐπὶ τοῖς
ἀγαθοῖς τῶν φίλων χαίρεις οὐδὲν ἧττον ἢ ἐπὶ
τοῖς ἑαυτοῦ, ὅπως τε ταῦτα γίγνηται τοῖς
φίλοις, οὐκ ἀποκάμνεις μηχανώμενος, καὶ ὅτι
ἔγνωκας, ἀνδρὸς ἀρετὴν εἶναι, νικᾷν τοὺς μὲν
φίλους εὖ ποιοῦντα, τοὺς δὲ ἐχθροὺς κακῶς·
πάνυ ἂν οἶμαί σοι ἐπιτήδειον εἶναί με σύν-
36 θηρον τῶν ἀγαθῶν φίλων. τί οὖν, ἔφη ὁ
Κριτόβουλος, ἐμοὶ τοῦτο λέγεις, ὥσπερ οὐκ
ἐπὶ σοὶ ὄν, ὅ, τι ἂν βούλῃ, περὶ ἐμοῦ λέγειν;
μὰ Δί', οὐχ, ὥς ποτε ἐγὼ Ἀσπασίας ἤκουσα.
ἔφη γάρ, τὰς ἀγαθὰς προμνηστρίδας, μετὰ
μὲν ἀληθείας τἀγαθὰ διαγγελλούσας, δεινὰς
εἶναι συνάγειν ἀνθρώπους εἰς κηδείαν, ψευδο-
μένας δ' οὐκ ὠφελεῖν ἐπαινούσας. τοὺς γὰρ
ἐξαπατηθέντας ἅμα μισεῖν ἀλλήλους τε καὶ
τὴν προμνησαμένην. ἃ δὴ καὶ ἐγὼ πεισθεὶς,
ὀρθῶς ἔχειν ἡγοῦμαι, οὐκ ἐξεῖναί μοι περὶ σοῦ
λέγειν ἐπαινοῦντι οὐδὲν, ὅ, τι ἂν μὴ ἀληθεύω.
37 σὺ μὲν ἄρα, ἔφη ὁ Κριτόβουλος, τοιοῦτός μοι
φίλος εἶ, ὦ Σώκρατες, οἷος, ἂν μέν τι αὐ-
τὸς ἔχω ἐπιτήδειον εἰς τὸ φίλους κτήσασθαι,
συλλαμβάνειν μοι· εἰ δὲ μή, οὐκ ἂν ἐθέλοις
πλάσας τι εἰπεῖν ἐπὶ τῇ ἐμῇ ὠφελείᾳ. πό-
τερα δ' ἄν, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε,
δοκῶ σοι μᾶλλον ὠφελεῖν σε, τὰ ψευδῆ ἐπαι-
νῶν, ἢ πείθων πειρᾶσθαι σε ἀγαθὸν ἄνδρα
38 γενέσθαι; εἰ δὲ μὴ φανερὸν οὕτω σοι, ἐκ τῶν-



Franckesche Stiftungen zu Halle

δε σκέψαι. εἰ γάρ σε βουλόμενος φίλον ποιῆσαι ναυκλήρῳ, ψευδόμενος ἐπαινοίην, φάσκων ἀγαθὸν εἶναι κυβερνήτην, ὁ δέ μοι πεισθεὶς ἐπιτρέψειέ σοι τὴν ναῦν μὴ ἐπισταμένῳ κυβερνᾷν, ἔχεις τινὰ ἐλπίδα, μὴ ἂν σαυτόν τε καὶ τὴν ναῦν ἀπολέσαι; ἢ εἴ σοι πείσαιμι κοινῇ τὴν πόλιν, ψευδόμενος, ὡς ἂν στρατηγικῷ τε καὶ δικαστικῷ καὶ πολιτικῷ ἑαυτὴν ἐπιτρέψαι, τί ἂν οἴει σαυτὸν καὶ τὴν πόλιν ὑπὸ σοῦ παθεῖν; ἢ εἴ τινας ἰδίᾳ τῶν πολιτῶν πείσαιμι, ψευδόμενος, ὡς ὄντι οἰκονομικῷ τε καὶ ἐπιμελεῖ, τὰ ἑαυτῶν ἐπιτρέψαι, ἆρ' οὐκ ἂν πεῖραν διδοὺς, ἅμα τε βλαβερὸς εἴης, καὶ
καταγέλαστος φαίνοιο; ἀλλὰ συντομωτάτη τε, 39
καὶ ἀσφαλεστάτη, καὶ καλλίστη ὁδὸς, ὦ Κριτόβουλε, ὅ, τι ἂν βούλῃ δοκεῖν ἀγαθὸς εἶναι, τοῦτο καὶ γενέσθαι ἀγαθὸν πειρᾶσθαι. ὅσαι δ' ἐν ἀνθρώποις ἀρεταὶ λέγονται, σκοπούμενος εὑρήσεις πάσας μαθήσει τε καὶ μελέτῃ αὐξανομένας. ἐγὼ μὲν οὖν, ὦ Κριτόβουλε, οὕτως οἶμαι δεῖν θηρᾶν c) ἡμᾶς· εἰ δὲ σύ πως ἄλλως γιγνώσκεις, δίδασκε. καὶ ὁ Κριτόβουλος, ἀλλ' αἰσχυνοίμην ἂν, ἔφη, ὦ Σώκρατες, ἀντιλέγων τούτοις· οὔτε γὰρ καλὰ, οὔτε ἀληθῆ λέγοιμ' ἄν.

---

CAPVT

c) Vulg. οἶμαι δεῖν ὑμᾶς ταύτας θηρᾶσθαι.

Franckesche Stiftungen zu Halle